φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι κυρίου καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ
11 θεῷ. [11]ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε καὶ κατισχύετε φλόγα· πο-
ρεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογί, ᾗ ἐξεκαύσατε· δι'
ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

**51** [1]Ἀκούσατέ μου, οἱ διώκοντες τὸ δίκαιον καὶ ζητοῦντες τὸν κύριον,
ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἣν ἐλατομήσατε, καὶ εἰς τὸν
2 βόθυνον τοῦ λάκκου, ὃν ὠρύξατε. [2]ἐμβλέψατε εἰς Αβρααμ τὸν πα-
τέρα ὑμῶν καὶ εἰς Σαρραν τὴν ὠδίνουσαν ὑμᾶς· ὅτι εἷς ἦν, καὶ
ἐκάλεσα αὐτὸν καὶ εὐλόγησα αὐτὸν καὶ ἠγάπησα αὐτὸν καὶ ἐπλή-
3 θυνα αὐτόν. [3]καὶ σὲ νῦν παρακαλέσω, Σιων, καὶ παρεκάλεσα πάντα
τὰ ἔρημα αὐτῆς καὶ θήσω τὰ ἔρημα αὐτῆς ὡς παράδεισον κυρίου·
εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν καὶ
4 φωνὴν αἰνέσεως. — [4]ἀκούσατέ μου ἀκούσατε, λαός μου, καὶ οἱ
βασιλεῖς, πρός με ἐνωτίσασθε· ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται
5 καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. [5]ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου,
καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά
μου ἔθνη ἐλπιοῦσιν· ἐμὲ νῆσοι ὑπομενοῦσιν καὶ εἰς τὸν βραχίονά
6 μου ἐλπιοῦσιν. [6]ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ
ἐμβλέψατε εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη,
ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες τὴν γῆν
ὥσπερ ταῦτα ἀποθανοῦνται, τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα
7 ἔσται, ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλίπῃ. — [7]ἀκούσατέ μου, οἱ
εἰδότες κρίσιν, λαός μου, οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν· μὴ
φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡτ-
8 τᾶσθε. [8]ὥσπερ γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου καὶ ὡς ἔρια
βρωθήσεται ὑπὸ σητός· ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται,
τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν.

9 [9]Ἐξεγείρου ἐξεγείρου, Ιερουσαλημ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ
βραχίονός σου· ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος.
10 οὐ σὺ εἶ [10]ἡ ἐρημοῦσα θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος; ἡ θεῖσα
11 τὰ βάθη τῆς θαλάσσης ὁδὸν διαβάσεως ῥυομένοις [11]καὶ λελυτρω-
μένοις; ὑπὸ γὰρ κυρίου ἀποστραφήσονται καὶ ἥξουσιν εἰς Σιων

**10** αντιστηριζεσθαι(pro -θε) S† || **11** κατισχυσατε S | φλογα] + πυρος S†
**51** 1 εξ ης ελατομηθητε et εξ ου ωρυχθητε *L*: = θ' || **2** αυτον paenult. ⌒ ult. B† || **3** σε > *L* | αυτης $1^0$ ⌒ $2^0$ A | παραδεισον AQS$^c$] + και τα(B*† τας) προς δυσμας (+ αυτης *LC*) ως παραδεισον BS**LC* (in *O* sub ※) || **4** ακουσατε $2^0$ AQ] + μου BS*LC* || **5** μου $1^0$ > S† | ως(S*L*p εις) φως] > AQ, in *O* sub ÷; + και B† || **6** η δε $1^0$] και η A† | οι δε] και οι S† | την γην $2^0$ AQ] > BS**C*; αυτην S$^c$*L* (in *O* sub ※) || **7** μου $2^0$ > B*C* = 𝔐 || **8** ωσπερ AQS$^c$] ως BS**LC* | ως] ωσπερ A | γενεας] -αν S*† || **9** fin.] + η λατομησασα πλατος διαρρηξασα(sic *C*†; *O* διαλυσασα) δρακοντα (10) ου συ ει *C* (in *O* sub ※): item *L*, sed κατακοψασα αλαζονειαν διαλυσασα pro λατομ. — διαρρ. || **10** το βαθος S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/640 UNIVERSITÄT LEIPZIG